Κανὼν ἰαμβικὸς πεντάστιχος εἰς τὰ ἅγια γενέθλια,
ποίημα Ἰωάννου μοναχοῦ·
φέρων ἀκροστιχίδα τήνδε διὰ ἡρῳελεγείων

---

AB2BbBcCaCbDEFIaKMMpNaNa2NbOaObSabSbShSkWaWbWcWdWeWf

**Titulus:** κανὼν τοῦ ἁγίου Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ ἐπὶ τῇ ἑορτῇ τῶν Χριστοῦ γέννων ἦχος α΄ ᾠδὴ α΄ in marg. ὁ Δαμασκηνὸς καὶ σοφὸς Ἰωάννης σαφῶς ἐξυμνεῖ θαύματα τοῦ δεσπότου Bb: κανὼν εἰς τὰ ἅγια Θεοφάνεια· τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν καὶ πρεσβυτέρου Ἰω(άνν)ου μοναχοῦ τοῦ Δαμασκηνοῦ· ἕκαστον τῶν τροπαρίων ἔχον ἐκ ἰάμβων πέντε συντεθειμένον· ὧν ἡ ἀκροστιχὶς ἥδε δι᾽ ἡρῳελεγείων· ἐξηγηθεὶς μὲν παρὰ διαφόρων πλατύτερον· ὡς ὁρᾶται ἐνταῦθα παρὰ τοῦ τιμιωτάτου ἐν μοναχοῖς κυρ(ίου) (an κυροῦ?) Μάρκου τοῦ καὶ κατὰ ψυχὴν τῷ ὄντι εὐγενικοῦ Bc: ἕτερος κανὼν εἰς τὴν αὐτὴν ἑορτὴν φέρων ἀκροστιχίδα διὰ στίχων, ποίημα Ἰωάννου μοναχοῦ τοῦ Δαμασκηνοῦ D: τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Ἰωάννου Μοναχοῦ καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ εἰς τὰ ἅγια Θεοφάνια, ἕκαστον τῶν τροπαρίων ἔχων ἐξ ἰάμβων πέντε συντεθειμένον· ὧν ἡ ἀκροστιχὶς ἥδε, δι᾽ ἡρῳελεγείων E: κανὼν τῶν ἁγίων γενεθλίων Ἰωάννου Μοναχοῦ· ἰαμβικὸς πεντάστιχος· ἡ δὲ ἀκροστιχὶς διὰ στίχων ἐλεγείων F: κανὼν ἰαμβικὸς εἰς τὴν ἁγίαν τοῦ σωτῆρος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν γέννησιν διὰ στίχων ἡρῳελεγείων, ποίημα τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ, οὗ ἡ ἀκροστιχὶς M: τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Δαμασκηνοῦ κανὼν ἰαμβικὸς εἰς τὴν Χριστοῦ γέννησιν· οὗ ἡ ἀκροστιχὶς διὰ στίχων ἡρῳελεγείων ἔχουσα οὕτως Mp: κανὼν εἰς τὴν γέννησιν τοῦ Χριστοῦ διὰ στίχων ἰάμβων Ἰωάννου Μοναχοῦ τοῦ Δαμασκηνοῦ οὗ ἡ ἀκροστιχὶς NaNa2: κανὼν διὰ στίχων ἰαμβικῶν εἰς τὴν Χριστοῦ γέννησιν Nb: κανὼν εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν φέρων ἀκροστιχίδα τήνδε Ob: κανὼν τῶν ἁγίων γενεθλίων ἰαμβικὸς πεντάστιχος. ἡ δὲ ἀκροστιχὶς διὰ στιχελεγείων Sab: κανὼν τῶν ἁγίων γενεθλίων ἰαμβικὸς πέντε ἰάμβων τροπαρίων Sb: κανὼν τῶν Χριστουγέννων Sh: Ἰωάννου τοῦ Δαμασκηνοῦ κανὼν ἰαμβικὸς ἑξάπους εἰς τὴν ἁγίαν τοῦ Χριστοῦ γέννησιν φέρων ἀκροστιχίδα τήνδε (in. marg. διὰ δύο ἡρωικῶν καὶ δύο ἐλεγείων ἐναλλὰξ οὕτως ἡρωικόν- ἐλεγεῖον- ἡρῷον Sk: ἀρχὴ σὺν Θεῷ ἑρμηνείας τῶν ᾀσματικῶν κανόνων ἐν συνόψει, ᾠδὴ α΄ Wa: τοῦ Δαμασκηνοῦ κανὼν εἰς τὰ ἅγια Θεοφάνια· ἕκαστον τῶν τροπαρίων ἐξ ἰάμβων πέντε συντεθειμένον ὧν ἡ ἀκροστιχὶς ἥδε δι᾽ἡρωελεγείων Wb: κανὼν εἰς τὰ ἅγια Θεοφάνια, ἕκαστον τῶν τροπαρίων ἔχον ἐξ ἰάμβων πέντε συντεθειμένον ὧν ἡ ἀκροστιχὶς ἥδε δι᾽ἡρῳελεγείων Wd: κανὼν διὰ στίχων ἰαμβικῶν εἰς τὴν Χριστοῦ γέννησιν ποίημα τοῦ ἁγίου Ἰωάννου καὶ πρεσβυτέρου τοῦ Δαμασκηνοῦ Ἰερ(οσολυμίτου) We:

Titulum et acrost. om. OaWf: acrost. om. CbBbWa

Εὐεπίης μελέεσσιν ἐφύμνια ταῦτα λιγαίνει
  Υἷα Θεοῦ, μερόπων εἵνεκα τικτόμενον
Ἐν χθονὶ καὶ λύοντα πολύστονα πήματα κόσμου·
  Ἀλλ' ἄνα, ῥητῆρας ῥύεο τῶνδε πόνων.

Ὠιδὴ α′ ἦχος α′

Εἱρμός.

Ἔσωσε λαὸν θαυματουργῶν δεσπότης,
Ὑγρὸν θαλάσσης κῦμα χερσώσας πάλαι·
Ἑκὼν δὲ τεχθεὶς ἐκ κόρης, τρίβον βατὴν
Πόλου τίθησιν ἡμῖν· ὃν κατ' οὐσίαν
Ἶσόν τε πατρὶ καὶ βροτοῖς δοξάζομεν.

Ἤνεγκε γαστὴρ ἡγιασμένη λόγον,
Σαφῶς ἀφλέκτῳ ζωγραφουμένη βάτῳ,
Μιγέντα μορφῇ τῇ βροτησίᾳ θεόν,
Εὔας τάλαιναν νηδὺν ἀρᾶς τῆς πάλαι
Λύοντα πικρᾶς· ὃν βροτοὶ δοξάζομεν.

---

**acr. 1** Εὐεπίης] εὐεπίοις D μελέεσσιν] μελέεσι Nb ἐφύμνια] εὐφύμνια B2 **2** εἵνεκα] ἕνεκα F **3** κόσμου] κόσμον Sab **4** Ἀλλ', ἄνα] ἀλλὰ ἄναξ B2 ῥητῆρας] ῥατείρας Sab: ῥυτῆρας WeWf τῶνδε] τόνδε F

**1** Ἔσωσε] ἔσωσεν FNbSab λαὸν] λαῶν Sb θαυματουργῶν] θαυματουργὸν IaSb **4** Πόλου] πόλον Wa **5** Ἶσον] οἶσον F τε πατρὶ] τῷ πατρὶ FK: δὲ πατρὶ Sb βροτοῖς] βροτοὶ NaNa2Nb δοξάζομεν] δοξάζωμεν B2: δοξάσομεν Na

**6** Ἤνεγκε] ἤνεγκεν F: ἔνεγκε Ia ἡγιασμένη] ἡγιασμένην Sb λόγον] λόγῳ F **7** ἀφλέκτῳ] ἀφλέκτως DIaKMSabShSkWd ζωγραφουμένη] ζωγραφουμένην FIa βάτῳ] βάτος F **8** Μιγέντα] μηγέντα Sab βροτησίᾳ] βροτίᾳ B2 θεόν] θεοῦ BbCaDFIaKMpNaNbObSabShSkWaWdWf **9** τάλαιναν] τάλαινα K: τάλενα Sab νηδὺν] ἰδὶν Sb **10** πικρᾶς] πικρῶς Nb βροτοὶ] βροτοῖς Sb δοξάζομεν] δοξάζουσι Sab: δοξάζωμεν B2Nb: δοξάσωμεν IaK

Ἔδειξεν ἀστὴρ τὸν πρὸ ἡλίου λόγον,
Ἐλθόντα παῦσαι τὴν ἁμαρτίαν, μάγοις,
Σαφῶς πενιχρὸν εἰς σπέος, τὸν συμπαθῆ,
Σὲ σπαργάνοις ἑλικτόν· ὃν γεγηθότες
Ἴδον τὸν αὐτὸν καὶ βροτὸν καὶ κύριον.

Ὠιδὴ γ′
Εἱρμός.
Νεῦσον πρὸς ὕμνους οἰκετῶν, εὐεργέτα,
Ἐχθροῦ ταπεινῶν τὴν ἐπηρμένην ὀφρύν,
Φέρων τε, παντεπόπτα, τῆς ἁμαρτίας
Ὕπερθεν ἀκλόνητον ἐστηριγμένους,
Μάκαρ, μελῳδοὺς τῇ βάσει τῆς πίστεως.

Νύμφης πανάγνου τὸν πανόλβιον τόκον
Ἰδεῖν ὑπὲρ νοῦν ἠξιωμένος χορὸς
Ἄγραυλος ἐκλονεῖτο τῷ ξένῳ τρόπῳ,
Τάξιν μελῳδοῦσάν τε τῶν ἀσωμάτων
Ἄνακτα Χριστὸν ἀσπόρως σαρκούμενον.

---

**11** ab Ἔδειξεν textum praebet Cb ἔδειξεν om. Ob **13** Σαφῶς πενιχρὸν om. Cb εἰς σπέος] εἰσπαίως Cb τὸν συμπαθῆ] τὸ συμπαθὲς CbK: τὸ συμπαθῆ Sab: τὸν συμπαθὲς F **14** ἑλικτὸν] ἡλικτὸν Sab ὃν] ᾧ Sab γεγηθότες] γεγηθότα CbN
**15** Ἴδον] εἶδον BbKNa

**16** ὕμνους] ὕμνον Sb οἰκετῶν] ἱκετῶν AB2BbBcCaEFNaWbWdWe: ἱκετὸν Sb ταπεινῶν] ταπεινὸν M **18** τῆς ἁμαρτίας] τὴν ἁμαρτίαν Sb **19** Ὕπερθεν] ὑπέρθεν Wf ἀκλόνητον] ἀκλώνητον M: ἀκλονητὸν We ἐστηριγμένους] ἐστηρηγμένος Sb

**22** νοῦν] νοῦς B2: ἔννοιαν Cb **23** Ἄγραυλος] ἀγραυλὸς Sab ἐκλονεῖτο] ἐκλόνητο Cb **24** μελῳδοῦσάν τε] μελωδούσαντα F τε] σε Ia **25** ἀσπόρως] ἀσπόρος D

Ὕψους ἀνάσσων οὐρανῶν εὐσπλαγχνίᾳ
Τελεῖ καθ’ ἡμᾶς ἐξ ἀνυμφεύτου κόρης,
Ἄυλος ὢν τὸ πρόσθεν, ἀλλ’ ἐπ’ ἐσχάτων
Λόγος παχυνθεὶς σαρκί, τὸν πεπτωκότα
Ἵνα πρὸς αὐτὸν ἑλκύσῃ πρωτόκτιτον.

Ὠιδὴ δ′
Εἱρμός.
Γένους βροτείου τὴν ἀνάπλασιν πάλαι
Ἄιδων προφήτης Ἀββακοὺμ προμηνύει,
Ἰδεῖν ἀφράστως ἀξιωθεὶς τὸν τύπον·
Νέον βρέφος γὰρ ἐξ ὄρους τῆς παρθένου
Ἐξῆλθε λαῶν εἰς ἀνάπλασιν λόγος.

Ἶσος προῆλθες τοῖς βροτοῖς ἑκουσίως,
Ὕψιστε, σάρκα προσλαβὼν ἐκ παρθένου,
Ἰὸν καθᾶραι τῆς δρακοντείας κάρας,
Ἄγων ἅπαντας πρὸς σέλας ζωηφόρον,
Θεὸς πεφυκώς, ἐκ πυλῶν ἀνηλίων.

---

**26** εὐσπλαγχνίᾳ] εὐσπλαγχνίαν FIaSbSk: εὐσπλαγχνίας Wa: ἡ εὐσπλαγχνία Cb: εὐσπλαγχνία Oa **28** πρόσθεν] προσθὲν Sab **29** τὸν πεπτωκότα] τῶν πεπτωκότων Ia **30** πρωτόκτιτον] πρωτόκτιστον AB2BcCaCbDFIaKMObSbShSkWcWd

**31** Γένους βροτείου] γένους βροτίου B2DSab: γένος βροτίου Sb **32** Ἄιδων] ἰδὼν Ia Ἀββακοὺμ] Ἀμβακοὺμ AB2CbKSabSb **34** βρέφος] φῶς B2 **35** λαῶν] λαὸς Cb: λαὸν F ἀνάπλασιν] ἀνάστασιν B2Sab

**36** Ἶσος] ἴσως E προῆλθες] προῆλθεν F ἑκουσίως] κατ᾽ οὐσίαν A **37** ἐκ παρθένου] ἐκ τῆς παρθένου F **38** Ἰὸν] υἱὸν Cb καθᾶραι τῆς] καθαίρετῆς Sab δρακοντείας] δρακοντίας FIaNbSabShSkWc **39** πρὸς σέλας] προσέλας Nb ζωηφόρον] ζωηφόρου B2: ζωηφόρων Na **40** Θεὸς] Ἰησοῦς We

Ἔθνη τὰ πρόσθεν τῇ φθορᾷ βεβυσμένα,
Ὄλεθρον ἄρδην δυσμενοῦς πεφευγότα,
Ὑψοῦτε χεῖρας σὺν κρότοις ἐφυμνίοις,
Μόνον σέβοντα Χριστὸν ὡς εὐεργέτην
Ἐν τοῖς καθ' ἡμᾶς συμπαθῶς ἀφιγμένον.

Ῥίζης φυεῖσα τοῦ Ἰεσσαί, παρθένε,
Ὅρους παρῆλθες τῶν βροτῶν τῆς οὐσίας,
Πατρὸς τεκοῦσα τὸν πρὸ αἰώνων λόγον,
Ὡς ηὐδόκησεν αὐτὸς ἐσφραγισμένην
Νηδὺν διελθεῖν, τῇ κενώσει τῇ ξένῃ.

**41** βεβυσμένα] βεβλυσμένα Sab: βεβυθισμένα K: βεβησμένα Sk **42** δυσμενοῦς] δυσμενεῖς Cb πεφευγότα] πεφυγότα MSab **43** Ὑψοῦτε] ὑψοῦται F σὺν κρότοις] συγκροτοῖς Sab: σὺν κροτοῖς B2We: σὺν κρότης F ἐφυμνίοις] εὐφημνίοις K
**44** σέβοντα] σέβοντες D Χριστὸν] Θεὸν F **45** ἀφιγμένον] ἀφιγμένων Ia: ἐφηγμένον Sab

**46** Ῥίζης] Ῥίζεις Nb τοῦ Ἰεσσαὶ] om. τοῦ Ia παρθένε] παρθένος ABcESbWbWd: ἡ παρθένος B2CbFK: ὦ παρθένε Wc **47** παρῆλθες] προῆλθες Cb: παρῆλθε EF τῶν βροτῶν] τὸν βροτὸν Sb **48** τὸν] τῶν CbNb πρὸ αἰώνων] προαιώνων AM: πρὸ αἰῶνος BbNa **49** ὡς ηὐδόκησεν] ὡς εὐδόκησεν BbBcCaDEFIaMMpNaOaWbWcWdWf: ὧν εὐδόκησεν Sh **50** διελθεῖν] προελθεῖν Sh

Ὠιδὴ ε′

Εἱρμός.

Ἐκ νυκτὸς ἔργων ἐσκοτισμένοις πλάνης
Ἱλασμὸν ἡμῖν, Χριστέ, τοῖς ἐγρηγόρως
Νῦν σοι τελοῦσιν ὕμνον ὡς εὐεργέτῃ,
Ἔλθοις πορίζων εὐχερῆ τε τὴν τρίβον,
Καθ' ἣν ἀνατρέχοντες εὕροιμεν κλέος.

Ἀπηνὲς ἔχθος τὸ πρὸς αὐτὸν δεσπότης,
Τεμὼν διαμπὰξ σαρκὸς ἐν παρουσίᾳ,
Ἶνα κρατοῦντος ὤλεσε ψυχοφθόρον,
Κόσμον συνάπτων ταῖς ἀΰλοις οὐσίαις
Τιθεὶς προσηνῆ τὸν τεκόντα τῇ κτίσει.

---

**51** ἔργων] ἔργον IaSab ἐσκοτισμένοις πλάνης] ἐσκοτισμένης πλάνης CbKNa2Sab: ἐσκοτισμένοις πλάνοις Sh: ἐσκοτισμένοις πλάνῃ AB2NbSb: ἐσκοτισμένης πλάνῃ F
**52** Ἱλασμὸν] ἱλασμὸς ACbDIaMMpOaShWaWe ἐγρηγόρως] ἐγρηγόροις Ia
**53** σοι τελοῦσι] σὺ τελοῦσιν Sab: σιτελοῦσι F: συντελοῦσιν Wc: συντελοῦντες Cb εὐεργέτῃ] εὐεργέτην CaCbKNbSabSk: εὐεργέτης IaWc **54** Ἔλθοις] ἔλθῃς FIaWc εὐχερῆ τε] εὐχαιρεῖτε Sab: εὐχερεῖται Cb post τρίβον def. WeB2 usque ad lin. 76 εὕροιμεν] εὕρυμεν Sb

**56** δεσπότης] δεσπότην Ia **57** Τεμὼν] νεμῶν Nb **58** Ἶνα κρατοῦντος] ἀνακρατοῦντος Ia ὤλεσε ψυχοφθόρον] ὤλεσε ψυχοφθόρου BcMNbWbWd: ὤλεσεν θυμοφθόρου ABbCbFNaNbSab: ὤλεσεν θυμοφθόρον SbSh: ὤλεσε θυμοφθόρου DKMpOaOb: ὀλέσαι θυμοφθόρου IaWc: ὤλεσαι θυμοφθόρου Sk **59** Κόσμον] κόσμου MSb ταῖς] τοῖς Nb οὐσίαις] οὐσίας Bc

Ὁ λαὸς εἶδεν, ὁ πρὶν ἠμαυρωμένος
Μεθ᾿ ἡμέραν φῶς τῆς ἄνω φρυκτωρίας·
Ἔθνη θεῷ δὲ κλῆρον υἱὸς προσφέρει,
Νέμων ἐκεῖσε τὴν ἀπόῤῥητον χάριν,
Οὗ πλεῖστον ἐξήνθησεν ἡ ἁμαρτία.

Ὠιδὴ ς′ Εἱρμός.
Ναίων Ἰωνᾶς ἐν μυχοῖς θαλαττίοις
Ἐλθεῖν ἐδεῖτο καὶ ζάλην ἀπαρκέσαι·
Νυγεὶς ἐγὼ δὲ τῷ τυραννοῦντος βέλει,
Χριστέ, προσαυδῶ τὸν κακῶν ἀναιρέτην
Θᾶττον μολεῖν σε τῆς ἐμῆς ῥαθυμίας.

Ὃς ἦν ἐν ἀρχῇ πρὸς θεὸν θεὸς λόγος
Νυνὶ κρατύνει μὴ σθένουσαν τὴν πάλαι
Ἰδὼν φυλάξαι, τὴν καθ’ ἡμᾶς οὐσίαν,
Καθεὶς ἑαυτὸν δευτέρᾳ κοινωνίᾳ,
Αὖθις προφαίνων τῶν παθῶν ἐλευθέραν.

___

**61** εἶδεν] οἶδεν IaWc: ἴδεν SabCb **62** ἡμέραν] ἡμέρας F **63** κλῆρον] κλῆρος Nb κλήρων Sb υἱὸς] υἱοὺς Cb lin. 63 om. Ia **65** πλεῖστον] πλείστων F: πλήσ.τόν Sab

**66** Ναίων] νέον CbSabSb: ναῖον F: νέων Wa **68** τῷ] τοῦ CbFKNbSabSbShSk
**69** Χριστέ] Χριστῷ CbD: Χριστὸν MpOa τὸν] τῶν CaIaOaWb ἀναιρέτην] ἀνερέτην Sab Θᾶττον] θάττων Sab μολεῖν σε] μολεῖσαι Mp

**72** σθένουσαν τὴν] σθένουσα τῆς Ia **73** Ἰδὼν] ὁδὼν Ia οὐσίαν] οὐσίας Sb **74** Καθεὶς ἑαυτὸν] καθεὶς γὰρ αὐτὸν Sab δευτέρᾳ κοινωνίᾳ] δευτέρᾳ κοινωνίαν Ob: δευτέραν κοινωνίαν CaFIaOaSkWaWc **75** προφαίνων] προφαίνει Oa

Ἶκται δι’ ἡμᾶς Ἀβραὰμ ἐξ ὀσφύος,
Λυγρῶς πεσόντας ἐν ζόφῳ τῶν πταισμάτων
Υἱοὺς ἐγεῖραι τῶν κάτω νενευκότων,
Ὁ φῶς κατοικῶν καὶ φάτνην παρ’ ἀξίαν
Νῦν εὐδοκήσας εἰς βροτῶν σωτηρίαν.

Ὠιδὴ ζ′
Εἱρμός.
Τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ
Ἄπλητα θυμαίνοντος ἠγκιστρωμένοι
Παῖδες τυράννου δύσθεον γλωσσαλγίαν˙
Οἷς εἴκαθεν πῦρ ἄσπετον, τῷ δεσπότῃ
Λέγουσιν· εἰς αἰῶνας εὐλογητὸς εἶ.

Ὑπηρέτας μὲν ἐμμανῶς καταφλέγει,
Σῴζει δὲ παφλάζουσα ῥοιζηδὸν νέους
Ταῖς ἑπταμέτροις καύσεσι πυργουμένη,
Οὓς ἔστεφε φλόξ, ἄφθονον τοῦ κυρίου
Νέμοντος, εὐσεβείας εἵνεκα, δρόσον.

---

**76** Ἶκται] ἧκται Sk **77** Λυγρῶς] λυπρῶς B2SabSb: λυγρὸς Wc πεσόντας] πεύσαντα NaSab ζόφῳ] σκότει BcEIaKMWbWcWdWf: σκότῳ ABbDNaSa: σκότ. Cb: σκοτί Sb **78** κάτω] κάτων B2 **79** φάτνην] φάτνη BcIaK

**81** Τῷ] τοῦ B2 **82** θυμαίνοντος] θημένοντος Sab: θυμαίνοντας M: θυμένοντα B2: θυμένοντου Bc ἠγγιστρωμένοι] ἠγκιστρομένον SabSb: ἠγγιστρωμένοι MSh: ἐγκιστρουμένοι F: ἠγγιστρομένη Ia **84** Οἷς] τὶς Ia εἴκαθεν] εἴκαθε ABcCaEOaObSkWbWd: ἤκαθεν Sab: ἤκαθε Cb

**86** ἐμμανῶς] ἐκμανῶς B2CbSab: ἐμμαρῶς E **87** παφλάζουσα] παμφλάζουσα Sab ῥοιζηδὸν] ῥιζηδῶν Cb: ῥοιζιδὸν K νέους] νέοις Sb **88** Ταῖς] εἰς Wd καύσεσι] καύσεσιν FSab: καύσι M πυργουμένη] πυριουμ(έν)η Ca: πυργουμένην F **89** ἔστεφε] ἔστεφεν Sab τοῦ κυρίου] τῷ κυρίῳ Sh **90** εἵνεκα] ἕνεκα Sab: ἥνεκαν Cb: ἥνεγκα K: ἥνεκα Nb

Ἀρωγὲ Χριστέ, τὸν βροτοῖς ἐναντίον,
Πρόβλημα τὴν σάρκωσιν ἀῤῥήτως ἔχων,
Ἤισχυνας, ὄλβον τῆς θεώσεως φέρων,
Μορφούμενος νῦν· ἧστινος δι᾽ ἐλπίδα
Ἄνωθεν εἰς κευθμῶνας ἤλθομεν ζόφου.

Τὴν ἀγριωπόν, ἀκρατῶς γαυρουμένην,
Ἄσεμνα βακχεύουσαν, ἐξοιστρουμένου
Κόσμου, καθεῖλες πανσθενῶς ἁμαρτίαν·
Οὓς εἵλκυσε πρίν, σήμερον τῶν ἀρκύων
Σῴζεις δὲ σαρκωθεὶς ἑκών, εὐεργέτα.

---

**91** Ἀρωγὲ] ἀῤῥωγὲ CaCbDIKMShSkWf    τῶν βροτοῖς ἐναντίον] τῶν βροτοῖς ἐναντίων F : τῶν βροτῶν (-οις sec.man.) ἐναντίων Wc: τοῖς βροτοῖς ἐναντίον Sb
**92** ἔχων] φαίνων Sh   **93** Ἤισχυνας] ἴσχυνας B2IaKSab   θεώσεως] θεότητος Oa φέρων] φόρων Nb   **94** ἐλπίδα] ἐλπίδας A   post δι᾽ ἐλπίδα def. Sab   **95** εἰς] ὡς Ia

**96** ἀγριωπὸν] ἀγριοπῶς D: ἀγριοπῶν F : ἀγριωπῶν Ia    γαυρουμένην] γαυρουμένης Sb   **97**  βακχεύουσαν] βακχεύσασαν B2BbCaCbMpNaOaObShSkWa: βακχεύσασα F ἐξοιστρουμένου] ἐξοιστρουμένην BcEWbWdWf: ἐξηστρουμένην Sh: ἐξοιστρημένην OaObSk: ἐξοιστρημένου ACaM: ἐξοιστριμένου CbSb: ἐξηνστρομένου B2: ἐξοιστρυμένη K   **98** Κόσμου] κόσμον Cb   **99** εἵλκυσεν] εἵλκυσε DMpWcWd: εἵλκυσαν B2   post lin. 100 def. B2

Ὠιδὴ η΄

Εἱρμός.

Μήτραν ἀφλέκτως εἰκονίζουσι κόρης
Οἱ τῆς παλαιᾶς πυρπολούμενοι νέοι,
Ὑπερφυῶς κύουσαν, ἐσφραγισμένην·
Ἄμφω δὲ δρῶσα θαυματουργίᾳ μίᾳ
Λαοὺς πρὸς ὕμνον ἐξανίστησι χάρις.

Λύμην φυγοῦσα τοῦ θεοῦσθαι τῇ πλάνῃ,
Ἄληκτον ὑμνεῖ τὸν κενούμενον λόγον,
Νεανικῶς ἅπασα σὺν τρόμῳ κτίσις,
Ἄδοξον εὗχος δειματουμένη φέρειν
Ῥευστὴ γεγῶσα, κἂν σοφῶς ἐκαρτέρει.

Ἥκεις πλανῆτιν πρὸς νομὴν ἐπιστρέφων
Τὴν ἀνθοποιὸν ἐξ ἐρημαίων λόφων
Ἡ τῶν ἐθνῶν ἔγερσις, ἀνθρώπων φύσιν,
Ῥώμην βιαίαν τοῦ βροτοκτόνου σβέσαι,
Ἀνὴρ φανείς τε καὶ Θεὸς προμηθίᾳ.

---

**101** εἰκονίζουσι] εἰκονιζούσης Ia **103** κύουσαν] φύουσαν A **104** Ἄμφω] ἄφω Wf δρῶσα] δρόσῳ CbDISh θαυματουργίᾳ μίᾳ] θαυματουργία (an ᾳ?) μία (an ᾳ ?) CaCbKNa2: θαυματουργία μία AFMOaSbShSkWc: θαυματουργίᾳ μιᾷ BbBcDEIaMpWaWdWf: μιᾷ θαυματουργίᾳ Ob: θαυματουργία μίαν Ia
**105** ἐξανίστησι] ἐξανίστησιν CbE

**106** τῇ πλάνῃ] τὴν πλάνην CbDF **107** Ἄληκτον] ἄλληκτον A: ἄλυκτον Cb ὑμνεῖ] ὕμνει Cb **108** τρόμῳ] φόβῳ Ia **109** δειματουμένη φέρειν] δειματουμένην φέρει K: δειματουμένη φέρει A: δειματουμένην φέρειν CbD **110** σοφῶς] σοφὸς IaNaSh ἐκαρτέρει] ἐκαρτέρεις Cb: ἐκαρτέρης Sb

**112** ἀνθοποιὸν] ἀνθοποιῶν FSb λόφων] ζόφων F **114** Ῥώμην βιαίαν] ῥώμη βιαίαν Wc **114** σβέσαι] σβέσθαι Cb **115** φανείς τε] φανεῖσθαι Cb προμηθίᾳ] προμηθία ABbBcFKMpNaShWbWcWd: προμηθείᾳ CaCbMOb: προμηθεία DOaSkWf: προμυθία Ia

Ὠιδὴ θ′

Εἱρμός.

Στέργειν μὲν ἡμᾶς ὡς ἀκίνδυνον φόβῳ,
Ῥᾷον σιωπήν· τῷ πόθῳ δέ, παρθένε,
Ὕμνους ὑφαίνειν συντόνως τεθηγμένους
Ἐργῶδές ἐστιν, ἀλλὰ καί, μήτηρ, σθένος,
Ὅση πέφυκεν ἡ προαίρεσις, δίδου.

Τύπους ἀφεγγεῖς καὶ σκιὰς παρηγμένας,
Ὦ μῆτερ ἁγνή, τοῦ λόγου δεδορκότες,
Νέου φανέντος ἐκ πύλης κεκλεισμένης,
Δοξούμενοί τε τῆς ἀληθείας φάος
Ἐπαξίως σὴν εὐλογοῦμεν γαστέρα.

Πόθου τετευχὼς καὶ Θεοῦ παρουσίας
Ὁ χριστοτερπὴς λαὸς ἠξιωμένος
Νῦν ποτνιᾶται τῆς παλιγγενεσίας
Ὡς ζωοποιοῦ· τὴν χάριν δέ, παρθένε,
Νέμοις ἄχραντε, προσκυνῆσαι τὸ κλέος.

____________________

**116** φόβῳ] φόβον CbIaMNa2 **117** σιωπήν] σιωπὴ A: σιωπῇ Cb **118** ὑφαίνειν] συμφαίνειν Cb: ἐμφαίνειν Ia συντόνως] συντόνος Wc τεθηγμένους] τεθειμένους BbBcEMpNaNa2NbOaObWbWd: τεθημένην Cb: τεθιγμένους DIa: τεθημένοις Sk: τεθειγμένους Wf **119** μήτηρ] μῆτερ BbMMpNaSkWb
**120** Ὅση] ὅσοι D

**121** παρηγμένας] παρειγμένας Sk **122** μῆτερ] μήτηρ Wc **123** Νέου] νέον ABbCaCbMMpNaOaSbSh κεκλεισμένης] κεκλεισμένην Sb **124** Δοξούμενοί τε] δοξουμένη τε Wc: τοξούμενή τε K φάος] φάους DSkWbWdWf: φάους sed φάος sec. man. E **125** Ἐπαξίως σὴν] ἐπαξιοσην Wc γαστέρα] γαστέραν Sk

**127** χριστοτερπὴς] χρηστοτερπὴς BcCbEKWbWd ἠξιωμένος] ἠξιωμένοις (an -ους?) Sb
**128** παλιγγενεσίας] παλινγενεσίας K **130** προσκυνῆσαι] προσκυνεῖν σε FSk: προσκυνεῖ σε Ia: προσκυνῆσθαι Nb: πρόσκυνήσε Wb

# Studies in the Iambic Canons attributed to John of Damascus:

# A Critical Edition with Introduction and Commentary

Dimitrios Skrekas
Merton College
Faculty of Medieval and Modern Languages
University of Oxford

Submitted in fulfilment of the requirements for the degree of D. Phil.
Hilary Term 2008